# 02 IANUARIE

# SLUJBA SF.CUVIOASE IULIANA DE LA LAZAREVO

## MINEIUL-GR


ST. JULIANA
OF LAZAREVO

# Ἀκολουθία
# Ἁγίας ΙΟΥΛΙΑΝΗΣ τοῦ Λαζάρεβο

Ἀντ. Μάρκου

Ψαλλομένη τῇ 2α Ἰανουαρίου

## ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Μονή ἐγένου τοῦ Κτίσαντος,* κατά Κυρίου τό λόγιον,* κηρύτουσσα ἔργοις σου,* Πατέρα τόν Ἄναρχον* καί τόν τούτου Λόγον,* ἁγιωτάτη Μῆτερ,* καί τό Πανάγιον ὁμοῦ,* ἐν σοί σκηνῶσαν,* Πνεῦμα Παράκλητον·* διό καί μακαρίζεσαι* χρεωστικῶς καί γεραίρεσαι,* λυτρουμένη ἡμᾶς ἅπαντας,* πάσης βλάβης καί λύμης τε.

Ὡς μητέρα πολύτεκνον,* ἐν ταυτῷ καί καλλίγονον,* ἀνυμνοῦμεν γεραίροντες* τάς πόθῳ τοῦ Κτίσαντος* σάς πολλάς ἀσκήσεις·* τήν τε εὐποιΐαν,* φιλανθρωπίαν συχεχῆ* καί ἀδυνάτων* διά βίου στήριξιν·* διό καί μακαρίζομεν* καί σέ προστάτην

κηρύττομεν,* τῶν τρυχομένων πτωχείᾳ τε,* τῇ ἐνεργείᾳ ἀλάστορος.

Δεῦτε νῦν φιλέορτοι* καί Ὀρθοδόξων πᾶν σύστημα,* συμφώνως τιμήσωμεν* Κυρίου θεράπαιναν* Ἰουλιανήν θείαν,* ἥτις ἐν Ῥωσίᾳ,* διά εὐχῆς καί ἱλασμῶν,* τῆς βασιλείας Χριστοῦ ἐπέτυχεν·* διό καί νῦν γεραίρεται* καί ὑπό πάντων δοξάζεται,* τῶν ἐν Μούρωμ τεμένει της* προστρεχόντων ἐκ πίστεως.

Ἕτερα. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἁγία, ἐπί τέκνοις ἐκλεκτοῖς* εὐφραινομένη, καλλίγονε* ὁμοῦ, οὐ μόνον πολύτεκνε,* ἐφάνης, ἔνδοξε,* καί οἰκτίρμων πᾶσι* ἐνδεέσι καί χρήζουσι,* πάντα τά ἀναγκαῖα διέθεσας,* ὡς εὐσυμπάθητος,* ἐλεήμων καί φιλάνθρωπος,* τόν σόν πλοῦτον* τοῖς πτωχοῖς διέθεσας.

Νηστείᾳ τό σῶμα σου, σεμνή,* ἐν αὐστηρᾷ καθυπέβαλες,* ἵνα τροφῇ ἐπαρκέσῃ σοι,* ὅτι ἄρτον ξένοις*, τόν σόν διέθετες,* τροφῆς καλύπτουσα* πάντων τῶν πενομένων τήν στέρησιν,* ὡς εὐσυμπάθητος,* ἐλεήμων καί φιλάνθρωπος,* δειχθεῖσα μήτηρ* πτωχῶν πολυέλεος.

Σόν σῶμα τετίμηκεν Χριστός* εἰς τόν αἰῶνα, τηρήσας σου* τό σκῆνος ἄφθαρτον,* ὅτι αὐτό ἐδείχθη* ψυχῆς σου ὄργανον,* εὐποιΐας ἔργων * καί ἐλεημοσύνης παλλάδιον,* ὡς εὐσυμπάθητος,*

ἐλεήμων καί φιλάνθρωπος,* ἅ τελοῦσα* Κυρίῳ ὡμοίωσαι.

Δόξα. Ἦχος δ’.

Τόν νοερόν τῆς Ἐκκλησίας ἀδάμαντα,* δεῦτε φιλέορτοι,* Ἰουλιανήν τιμήσωμεν τήν ἐν Λαζάρεβῳ·* ἐκ Ῥωσίας μέν τήν ὁρμωμένην*, πανταχόθεν δέ νῦν τιμωμένην,* ὅτι τοῖς ἔργοις τῆς ἀγάπης Χριστόν εὐηρέστησεν,* τόν πλησίον διακονήσασα,* νηστεύουσα ἵνα ἔχῃ* καί εὐχομένη ἵνα λάβῃ.* Ἐπί τῷ τέλει δέ* εἰρηνικῶς τό ζῆν ἐκμετρήσασα,*
τήν μακαρίαν αὐτῆς ψυχήν* εἰς χεῖρας Κυρίου ἐν απέθετο.* Καί νῦν ἐν οὐρανοῖς,* τῷ θρόνῳ παρισταμένῃ τῆς Τριάδος,* αἰτεῖται ὑπέρ ἡμῶν εἰρήνην * καί τό μέγα ἔλεος.

Καί νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων* τούς δούλους Σου φύ λαττε,* εὐλο-γημένη Θεοτόκε,* ἵνα Σε δοξάζωμεν,* τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, Φῶς Ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. λα' 10-31).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν

βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν πoὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ’ αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησας καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός·

γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ’ 7).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα˙ ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν˙ συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ἁγιοτόκου πατρίδος,* τῆς κατά βορρᾶν Θηβαΐδος,* τῆς ῥωσικῆς γῆς θεῖον βλάστημα,* Ἰουλιανή,* τυγχάνεις καί καύχημα.* Ἐν Μούρωμ γάρ τήν ἐκεῖσε* Ἐκκλησίαν ἐκλέησας,* δι' ἔργων εὐποιΐας* καί τῇ τοῦ χαρακτῆρος σεμνότητι.* Ὅθεν χαῖρει ἐπί σύ* ὁ τῶν ἐλεημόνων Ἁγίων χορός,* σύν ἐκείνῳ τῶν Ὁσίων,*

εἰς ὧν τήν χορείαν κατετάγης,* Χριστοπρεπῶς τόν βίον ζήσασα* καί ὁσιακῶς τό ζεῖν ἐκμετρήσασα.

Ἦχος β΄.

Ἀγάλλου ἐν Κυρίῳ* καί τέρπου Ρωσία ἅπασα,
* Ἰουλιανήν
τήν τοῦ Λαζάρεβο* ὡς θησαυρόν πλουτοῦσα·*
ἐν σοί γάρ ἠγωνίσατο,* ἐν τῷ κόσμῳ ὡς ἐλεήμων,* τάς τῶν ἐνδεῶν ἀνάγκας καλύπτουσα·*
διό πλουσίαν τήν δωρεάν* παρά Χριστοῦ ἔλαβεν,*
τοῦ ἰᾶσθαι τούς ἀσθενούντας* καί τούς τῇ θήκῃ*
τοῦ αὐτῆς Λειψάνου προστρέχοντας.*
Τήν λάρνακα οὖν αὐτῆς κυκλοῦσα,*
τῷ Σωτῆρι ἔνδακρυς βόησον·* δόξα Σοι Κύριε,*
ὁ πρεσβείαις τῆς
Ἁγίας* λυτρωσάμενος τόν λαόν Σου,* τόν ὑπ' ἀθέων τυραννούμενον.

Ἦχος γ΄.

Οὐράνιοι Ἄγγελοι σήμερον,*
σύν πᾶσι τοῖς Ἁγίοις,*
μετά τῆς ἐπί γῆς Ἐκκλησίας συνεφραίνονται,*
τούς σούς ὑπέρ τοῦ πλησίον τιμῶντες ἀγῶνας.*
Ὄντως πολύαθλόν σου τό σῶμα,*
εἰ καί μαρτυρίου στίγματα οὐ φέρει·*
διό εὐωδίᾳ ἐβράβευσεν αὐτό
ὁ Κύριος* καί θαυμάτων πηγήν τοῦτο ἀνέδειξεν,*
πᾶσαν δαιμονικήν* ἀπελαύνουσα ἐνέργειαν.*
Ἀξιοχρέως οὖν βοῶμεν σοι·* μέμνησω Μῆτερ καί

ἡμῶν,*
τῶν τιμῶντων τήν μνήμην σου* τήν ἀξιοσέβαστον.

Δόξα. Ἦχος πλ. α'.

Σήμερον συγκαλεῖται ἡμᾶς,*
Ἰουλιανῆς τῆς Ρωσίδος* ἡ φαιδρά πανήγυρις.*
Δεῦτε οὖν φιλέορτοι πιστοί,*
χαρμοσύνως ἑορτάσωμεν* αὐτῆς τήν
μνήμην κράζοντες·* χαῖροις Μῆτερ,*
ἐλεημόνων καλλονή* καί ἐλεουμένων καύχημα,*
Μούρωμ ἡ πολιούχος,*
Ῥωσίας συμπάσης τό καταφύγιον·* χαῖροις Ἰωάνν
ου καί Φιλαρέτου τῶν Ἐλεημόνων* τῆς διακονίας
κοινωνός* καί μετ' αὐτῶν
συγκληρονόμος* τῆς Χριστοῦ Βασιλείας.*
Αὐτόν ἱκέτευε,*
πάντας λυτρωθῆναι πειραστηρίων* καί σωθῆναι,*
κατά τό μέγα Αὐτοῦ ἔλεος.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μετά Ἀγγέλων τά οὐράνια,* μετά ἀνθρώπων τά ἐπίγεια,* ἐν φωνῇ ἀγαλλιάσεως,* Θεοτόκε, βοῶμεν Σοι·* χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα·* χαῖρε μόνη τῶν γηγενῶν σωτηρία·* χαῖρε, σεμνή Κεχαριτ ωμένη,* ἡ τεκοῦσα Θεόν σεσαρκωμένον.

Εἰς τόν Στίχον. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξο υ θαύματος.

Μῆτερ Ὁσία ἀπέρριψας,*
διά τήν ὄντως Ζωήν,* τήν ζωήν τήν πρόσκαιρον,*

καταφρονήσασα ἅπαντα·* πλοῦτον καί δόξαν,* τρυφῆς ἀπόλαυσιν* καί πᾶσαν, Μῆτερ,* κόσμου τερπνότητα·* διό προσέδραμες* τῷ Κυρίῳ φέρουσα τόν σόν σταυρόν,*
Τοῦτον ἀγαπήσασα, Ἰουλιανή ἀξιάγαστε.

Ἡ βιοτή σου εὐάρεστος,*
διό Χριστός ὁ Θεός,* ἐν τῷ κόσμῳ σέ ἐδόξασεν,* ὅτε παρεχώρησεν* τήν ἀφθαρσίαν σοῦ δέματος,* ὅ καί εὑρέθη ἐν μύροις, Πνεύματος* διαπορθμεῦον ἡμῖν τάς χάριτας·* διό καί ἀναδέδεικται* πηγή θαυμάτων καί παντοειδῶν* ὑπέρ ἔννοιαν ἰάσεων.

Μῆτερ Ὁσίων ὁ ὅμιλος,* Ἱεραρχῶν ὁ χορός,* ἡ Μαρτύρων ὁμήγυρις,*
πάντων τῶν Ἁγίων τε* χοροί σέ ἐδέξαντο·*
ἐν οὐρανοῖς γάρ Χριστός σέ ἐδόξασεν* καί ἐπί πάσης γῆς ἐθαυμάστωσεν.*
Ὄντως ἱερώτατον* καί ἐπαίνου ἄξιον τό γεγονός,*
ὅ τιμῶμεν σήμερον,* ἡμέραν σήν γεννέθλιον.

Δόξα. Ἦχος πλ. β΄.

Ἐπέφανεν σήμερον ἔαρ σωτήριον* καί ἑορτή χαρμόσυνος,* Ἰουλιανῆς ἡ μνήμη,* τῆς δι᾽ εὐποιΐας Ὁσίας τοῦ Θεοῦ.* Αὕτη γάρ τόν πλησίον ἀγαπήσασα,*
ὁσιακῶς τόν βίον ἐξεμέτρησεν·* καί νῦν ὡς ἥλιος τηλαυγής,* τάς τῶν θαυμάτων ἀκτῖνας ἐκπέμπει,* πᾶσαν πειρασμικήν* διαλύουσα σκοτόμαιναν.*
Αὐτῇ πιστοί βοήσωμεν·*

μή διαλείπης, Μῆτερ,* ὑπέρ ἡμῶν πρεσβεύειν πρ ός Κύριον,* ἵνα ἐν εἰρήνῃ ἡμᾶς ἐκτελέσαι τόν βίον* καί Παραδείσ ου τυχεῖν τῆς ἀνέσεως.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἀρχή σωτηρίας,* ἡ τοῦ Γαβριήλ προσηγορία,* πρός τήν Παρθέ-νον γέγονεν.* Ἤκουσε γάρ τό χαῖρε* καί οὐκ ἀπέφυγε τόν ἀσπ ασμόν.* Οὐκ ἐδίστασεν,* ὡς ἡ Σάρρα ἐν τῇ σκηνῇ,* ἀλλ' οὕτως ἔλεγεν·* ἰδοῦ ἡ δούλη Κυρίου,* γένοιτό μοι κατά τό ῥῆμα σου.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Τῶν ἐν κόσμῳ πραγμάτων τήν ματαιότητα,* Οὐρανῶν Βασιλείας χαράν τήν μένουσαν* κατανοήσασα, Σεμνή,* ταύτης τετύχηκας*, δι' ἐργασίας ἀρετῶν* τῆς πρός πλησίον ἀγάπης·* διό ἐν ὕμνοις εὐήχοις,* ὡς κεκτημένην παρρησίαν,* Ἰουλιανή σέ μακαρίζομεν.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ὡς πολικός,* ἐκλάμψασα ἐκ Ῥωσίας,* φωτί τῶν ἀρετῶν,* ἀγάπης καί εὐποιΐας,* φωτίζεις τήν ὑπ’ οὐρανόν* Ἐκκλησίαν καί ἅπασαν* γῆν, καλεῖσαι νῦν* ἐπί τῇ θείᾳ σου μνήμῃ,* είς πανήγυριν,* Ἰουλιανή Λαζαρέφσκυ,* ἡμᾶς τούς τιμῶντας σε.

Δόξα τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἁγνή ἡ τόν Θεόν* ἡμῶν τεκοῦσα, τό κλέος* πάντων τῶν εὐσε-βῶν,* ἡ χαρά καί ἡ δόξα·* μή παύῃς δεόμεθα* ἱκετεύειν Ὅν ἔτεκες·* ἵνα ῥύσηται* ἡμᾶς παθῶν ψυχοφθόρων* καί δωρήσηται* ζωῆς ἀλήκτου τόν τόπον,* πρεσβείαις Σου Πάνσεμνε.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ἡ ἐν Λαζάρεβῳ γεννήσασα τέκνα* καί ἀναθρέψασα αὐτά ἐν παιδείᾳ* καί νουθεσίᾳ Κυρίου τοῦ Θεοῦ ἡμῶν*, τῆς οἰκογενείας τε ὑπόδειγμα καί μητέρων* ἀναδέδεικται·* πάντας οὖν νῦν προσκαλεῖται,* μνήμην τελέσαι ἑαυτῆς· ἧς ταῖς λιταῖς,* σκέπε καί σῶζε* τούς ὑμνοῦντας Σε Κύριε.

Δόξα τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Χαῖρε Δέσποινα, Ἀειπάρθενε Κόρη,* δαιμόνων φρύαγμα,* ἀνθρώπων θεῖος λιμήν τε,* οἱ τοῦ Χριστοῦ ἐνθέως ἀνυμνοῦμεν Σε·* σπεῦσον, Μῆτερ, πρόφθασον,* τῇ μεσιτείᾳ Σου σῶσον,* τούς προστρέχοντας* τῇ παναχράντῳ Σου σκέπῃ·* ἀπό κινδύνων ῥῦσαι χαλεπῶν* τούς Σέ τιμῶντας, * Παρθένε ἀκήρατε.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔδωκας τοῖς πένησι* τά τοῦ σοῦ βίου, πανεύφημε,* ὀρφανοῖς τήν ἀγάπην δέ,* ἀσθενοῦσιν ἀντίληψιν* καί τροφήν τοῖς ξένοις·* διό ἀφθαρσίᾳ* τετίμηκεν σόν λείψανον Χριστός,* θαυμάτων ξένων* πηγήν δέ ἀνέδειξεν,* τοῖς πίστει προσιοῦσι σοί* καί ἐκζητοῦσι βοήθειαν* παρά σοῦ, ἥν λαμβάνουσι* σαῖς πρεσβείαις πρός Κύριον.

Δόξα τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἠσαῦ νέος γέγονα* πᾶσιν ἐν τρόποις, Πανάχραντε, ἐμπαθής ὑπέρ ἄνθρωπον,* μόνος ὤφθην ἄθλιος,* ἀρετῆς ἐνθέου* γυμνός μόνος ὅλος·* τίς οὖν μή κλαύσει ἐπ’ ἐμέ;* Τίς μή θρηνήσει μου τήν ἀπώλειαν;* Διό πρό τέλους κράζω Σοι*, ἥμαρτον, Δέσποινα, σῶσον με,* ὥσπερ ἔσωσεν πρότερον,* ὁ Υἱός Σου τόν Ἄσωτον*.

Οἱ Ἀναβαθμοί, τό α΄ Ἀντίφωνον τοῦ δ΄ Ἦχου.

Προκείμενον. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν (ζήτει τῇ 5η Δεκεμβρίου, ἐν τῇ ἑορτῇ τοῦ ἁγ. Σάββα).

Ὁ Ν’ (50) Ψαλμός.

Δόξα. Ταῖς ταῖς Σῆς Ὁσίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου. Στ. *Ἐλέησόν με ὁ Θεός,...*

Ἔνθεος ἐδείχθης μιμητής,* τῶν σῶν ἐξαιρέτων προτύπων,* τοῦ Φιλαρέτου τε* Ἰωάννου ἀρχιποίμενος* Ἀλεξανδρείας κλεινοῦ·* ὧν τήν χάριν ἐκέκτεισω* καί τούτων τήν θέαν* ἀπολαύεις σήμερον* ἐν οὐρανοῖς παροικῶν·* ὅθεν, σοῦ δεόμεθα, Μῆτερ,* τῆς τοῦ Παραδείσου εὐκλείας,* τυχεῖν ἡμᾶς εὐχαῖς σου καί δεήσεσιν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καί τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς· *ΙΟΥΛΙΑΝΗΝ ΤΗΝ ΕΛΕΗΜΟΝΑ ΥΜΝΩ. ΑΝΤΩΝΙΟΣ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἰουλιανήν τήν θαυματουργόν* ὑμνήσωμεν πάντες,* αὐτῇ προ-σπίπτοντες οἱ πιστοί,*

αἰτούμενοι θείας βοηθείας* παρά Κυρίου, αὐτῆς ταῖς δεήσεσι.

Ὄγκον ἁμαρτίας τόν τῆς ψυχῆς* καί σώματος ἅμα* ἀποδίωξον ἀπ’ ἐμοῦ,* ἐλέους σου τῷ κρούοντι τήν θύραν,* ὡς Ἐλεήμων ἐλέει ἐλέησον.

Δόξα.

Ὑγείαν καί ἄνεσιν δός ἡμῖν,* ἐλεήμων Μῆτερ,* Ὀρθοδόξων ὁ βοηθός·* ἐν γάρ ἐν τῷ Μούρωμ ναῷ σου,* πάντες προσφεύγομεν ἐν περιστάσεσι.

Καί νῦν. Θεοτοκίον.

Λύτρωσαι, Κόρη τῶν Οὐρανῶν,* λιταῖς τῆς Ὁσίας,* καί εὐσπλάχνως ἰδέ ἡμᾶς,* τούς κατακλυσμῷ τῆς ἁμαρτίας,* παρασυρθέντας εἰς βάθη κολάσεως.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἰδεῖν τοῦ Πνεύματος, Μῆτερ,* ἐπιζητοῦμεν οἱ ἄθλιοι,* ἐφ’ ἡμᾶς ἐξ οὐρανῶν εὐλογίαν* καί τήν στερέωσιν,* ἐν τῇ ἀγάπῃ Χριστοῦ,* ὑπέρ ἡμῶν τοῦ παθόντος,* σαῖς θερμαῖς δεήσεσι,* θείοις τε ἐντεύξεσι.

Ἄρον κύκλῳ καί εἶδε* καθικετεύομεν, πρόφθασον,* πᾶσι αὐγασθῆναι τοῖς πόθῳ* πρός σέ προσφεύγουσι,* τῷ ἐν τῷ Μούρωμ ναῷ* καί τῇ σεπτῇ σου Εἰκόνι,* τοῦ λαβεῖν τήν ἴασιν,* ταῖς σαῖς δεήσεσι.

Δόξα.

Νεῦσον, Μῆτερ, τοῖς πόθῳ* ὑπό τήν σκέπην σου σπεύδουσι* καί γονυκλινῶς αἰτουμένοις* τήν σήν ἀντίληψιν·* μή ἐπιλάθου ἡμῖν,* τῶν ἐξ Ἑλλάδος σῶν τέκνων* καί τῶν ὁμοχώρων σου,* ἀγάπης ἔσοπτρον.

Καί νῦν. Θεοτοκίον.

Ἡμεῖς ἄδομεν, Κόρη,* τά Σά θαυμάσια ψάλλοντες·* χαῖρε τῶν Παρθένων ἡ δόξα,* ἡμῶν τό στήριγμα·* ταῖς πρεσβείαις, Σεμνή,* Ἰουλιανῆς πανευφήμου,* πάντας περιφρούρησον,* θεία Μουρώμσκαγια.

Κάθισμα. Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.

Τούς ἀγῶνας καί κόπους τούς σούς, πιστοί* νοερῶς θεωροῦ-ντες, πλήν εὐκρινῶς,* πάσης κατανύξεως τάς ψυχάς ἐμπιμπλάμεθα* καί πρός θεῖον ὕμνον* καί δόξαν καί αἴνεσιν,* τοῦ Κ υρίου πάντων,* τοῦ τῶν ὅλων δεσπόζοντος,* πόθῳ ἐγκαρδίῳ* ἑαυτούς συγκινοῦμεν,* ᾠδαῖς σέ γεραίροντες,* ὡς τῶν Ἁγίων ὁμότροπον* καί πιστῶς ἐκβοῶμεν σοι·* πρόφθασον ἱλέωσαι Κριτήν,* ταῖς πρός Αὐτόν σαῖς ἐνθέρμοις δεήσεσιν·* Τοῦτον ἐπίκαμψον τῇ πρεσβείᾳ σου Μῆτερ,* ἡ τῆς Ῥωσίας καί κόσμου ἀγλάϊσμα.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς,* ὡς ἡ χήρα ἐκείνη δύο λεπτά,* προσφέρω Σοι,

Δέσποινα,* ὑπέρ πασῶν τῶν χαρίτων Σου·* Σύ γάρ ὤφθης σκέπη,* ὁμοῦ καί ἀντίληψις,* πειρασμῶν καί θλίψεων ἀεί με ἐξαίρουσα·* ὅθεν ὡς ἐκ μέσου* φλογιζούσης καμίνου,* ῥυσθείς τῶν θλιβόντων με,* ἐκ καρδίας κραυγάζω Σοι·* Θεοτόκε βοήθει μοι,* πρεσβεύουσα τῷ Σῷ Υἱῷ καί Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ναῷ καί θήκῃ τιμίᾳ* τοῖς τῷ σῷ λειψάνῳ προσφεύγουσι,* τῇ δυνάμει τῇ τοῦ Πνεύματος,* ῥῦσαι ἐνεργειῶν τῶν τοῦ ἀλάστορος.

Τῆς τοῦ Κυρίου δούλης* Ἰουλιανῆς ἐλεήμονος* τῇ Εἰκόνι νῦν προσπίπτοντες* τῇ θαυματουργῷ, κ αταςπαζόμεθα.

Δόξα.

Ἡμῶν ἁπάντων προστάτην* τῶν τε τρυχωμένων παντίαις θλίψεσι,* ἀνυμνήσωμεν θεόφρονες,* Ἰουλιανή τήν ἐλεήμονα.

Καί νῦν. Θεοτοκίον.

Νῦν προνοίᾳ Σου, Κόρη,* ἀπό καρδίας προσπίπτομεν,* τήν βεβαίαν Σου αἰτούμενοι* καί ἀναγκαίαν πᾶσιν ἡμῖν ἀντίληψιν.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἐπόμβρισον ἡμῖν* τοῖς προσπίπτουσι σῇ χάριτι* καί αἰτουμένοις ἀπό σοῦ τόν ἱλασμόν,* Ἰουλιανή ἐλεήμων καί φιλάνθρωπε.

Λάμψον ἐφ' ἡμᾶς* ταῖς εὐχαῖς σου τήν τοῦ Πνεύματος* φωτίζουσαν ψυχάς μαρμαρυγήν,* ὡς τοῦ Κυρίου δούλη καί θεράπαινα.

Δόξα.

Ἔλαμψιν ἡμῖν* τοῖς ἱκέταις σου κατάπεμψον*, τοῖς προστρέχουσι σῇ σκέπῃ καί ναῷ* ἐν ᾧ κεῖται τό σόν λείψανον τό ἄφθαρτον.

Θεοτοκίον.

Ἤρθησαν ὑπέρ* κεφαλῆς τά ἁμαρτήματα,* πλήν ἐπίκαμψον λιταῖς Σου τόν Θεόν* καί Υἱόν Σου,* ὦ Μητράναδρε Πανύμνητε.

Ὠδή στ΄. Τήν δέησιν.

Μυρίζεις* μύροις σοῦ θείου λειψάνου,* τάς ψυχάς τῶν προσιόντων σοι, Μῆτερ,* ἡ μυρεψός τῆς ἀγάπης δειχθεῖσα* καί μυροδόχος ἐλέους· μυρίζουσα* ἀποφοράν τήν τῶν πληγῶν,* τῶν τῆς ψυχῆς καί τοῦ σώματος, ἔνδοξε.

Ὁλόκληρον* τόν δυσωδίᾳ καί ῥύπῳ* λελουσμένον τῇ ψυχῇ καί τό δέμας,* ὡς μυροδόχος τοῦ Μύρου τοῦ Μόνου,* μυρῖσαι σπεῦσον καί λοῦσαι, Φιλάνθρωπε,* παντελεήμων Ἰουλιανή,* τό τῆς ἀγάπης τῆς θείας ἐκτύπωμα.

Δόξα.

Ναόν Θεοῦ* τήν οἰκογένειαν ποίησον,* σαῖς ἐμπύροις πρός τόν Κύριον πρεσβείαις·* μήτηρ γάρ ὤφθης καλλίτεκνος ἐν πᾶσι,* εὐφραινομένη ἐπί τέκνοις καί χαίρουσα* διό ὡς προστάτης ἀληθῶς,* οἰκογενείας τοῦ λίκνου τετίμησαι.

Καί νῦν. Θεοτοκίον.

Ἀγάθηνον,* τοῖς δεομένοις, Παρθένε,* καί ἐπικάμφθητι φωνῇ τῶν ἱκετῶν Σου,* Χριστόν δυσώπει Σοῦ δεόμεθα, Κόρη,* τοῦ ἐλεῆσαι ἡμᾶς τούς προστρέχοντας,* ὑπό τήν σκέπην τήν σεπτήν* Σοῦ τῆς Μητρός Του, Μαρία Θεόνυμφε.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἡ τῆς θείας χάριτος πεπληρωμένη,* τοῦ Χριστοῦ θεράπαινα* μήτηρ σεπτή Ἰουλιανή,* ἐν εὐποιΐᾳ ἐκραύγαζε,* διά ἐλέους ὀπίσω Σου ἔδραμον.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης τῆς Ῥωσίας, θεόφρον, ἐν Λαζάρεβῳ ἀγωνισαμένη· ἐκεῖθεν δέ ἀνατείλας, τ ῷ κόσμῳ αὐγάζεις καί πάντας λυτροῦσαι τῶν πα θῶν· ὅθεν τιμῶμεν Σε ᾄδοντες ταῦτα:

Χαῖρε, Μῆτερ, ἡ δι᾽ἀγάπης τόν Βελίαρ πατάξασα·
χαῖρε, Κόρη, ἡ ἀρετήν καί εὐποιΐαν διδάξασα.
Χαῖρε, ἄνθος ὡραιότατον τῆς Ἁγίας Ῥωσίας·

χαῖρε, ἀγλάϊσμα τερπνότατον
τῆς Χριστοῦ Ἐκκλησίας.

Χαῖρε, ὁ τῆς Ῥωσίας οὐρανοφθόγγος ἐρωδιός·
χαῖρε, οἰκογενείας ἡ προστάτης καὶ ὀρφανῶν ἡ ὁδηγός.

Χαῖρε, κρῖνον τό ἐν Λαζάρεβῳ
ἐνδόξως ἀκμάσαν·
χαῖρε, ἡ εὐφραίνουσα ἐν δόξῃ τήν ὑφ' ἥλιον πᾶσαν.

Χαῖρε, ἡ τῶν λόγων τοῦ Παύλου ἐκσφράγισμα·
Χαῖρε, ἡ τῶν λημμάτων τῆς πλάνης κατάπτωμα.

Χαῖρε, ἡ ὑπάρχουσα τῶνὈρθοδόξων λαμπρότης·
Χαῖρε, ἡ ἐντυγχάνουσα τῆςἘκκλησίας φαιδρότης.

Χαίροις Ἰουλιανή, ἡ Ἐλεήμων καί Φιλάνθρωπος.

Συναξάριον

Τῇ 2α τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ὁσίας Ἰουλιανῆς, τῆς Ἐλεήμονος καί Φιλανθρώπου, τῆς ἐν Λαζάρεβῳ τῆς Ῥωσίας.

Στίχοι·

*Τοῦ Ἐλεήμονος Θεοῦ τό ἔλεος ζητοῦσα,*
*ἐλέους πηγή τοῖς πάσχουσι ἐδείχθης·*
*τά νῦν δ' ἐν οὐρανῷ Κυρίῳ ἐντυγχάνων,*
*ἐπόμβρισον ἡμῖν ἐλέους Του ῥανῖδα.*

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς, Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὕμνος ἡ σή ἐφάνη* βιοτή Κυρίῳ* τῷ Θεῷ σου, διό ἀξιάγαστε,* Ῥωσίας πέλεις κλέος* καί Ἐκκλησίας δόξα,* ἥ καί ψάλλει κραυγάζουσα·* ὁ Πατέρων ἡμῶν* Θεός , εὐλογητός εἶ.

Μέγιστα ἐργάζῃ* καί μετά λῆξιν, Μῆτερ,* νῦν σημεῖα καί θαύματα* τεράστια τοῖς πᾶσι,* τοῖς πόθῳ προσιοῦσι* καί μετά πόθου κραυγάζουσι·* ὁ Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Δόξα.

Νόσων πολυτρόπων* ἰατρός ἐδόθης,* διό τά πάθη θεράπευσον,* πληγάς τε ἀοράτους* καί τάς ὁρωμένας* ἡμῶν, τῶν πίστει βοώντων σοί·* ὁ Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Καί νῦν. Θεοτοκίον.

Ὦ Κόρη καί Παρθένε,* ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου καί Θεῷ·* ἀνάψυξον, Κυρία,* ψυχάς πεπυρωμένας,*
τῶν μετά πόθου βοώντων Σοι·*
χαῖρε οὐράνιε λιμήν,* πάντων τῶν σωζομένων.

Ὠδή η'. Τόν Βασιλέα.

Ἅπαντες πίστει* εἰλικρινεῖ προσιῶμεν,* τῇ θήκῃ τῶν σεπτῶν σου λειψάνων,* ψυχῶν τε καί σωμάτων* λαμβάνοντες τήν ῥῶσιν.

Ναός καί λάρναξ* μητρός τῆς φιλανθρώπου,* ἰατρεῖον ἱερόν

πρόκεινται τοῖς πᾶσι,* τῶν τιμώντων αὐτῆς* μνήμην τήν θειοτάτην.

Δόξα.

Τόν Ἐλεήμονα* Θεόν, Μῆτερ ἐμιμήσω* διό προστάτης ἡμῶν καί ἔφορος νῦν πέλεις,* ἐλεημοσύνης* ῥαίνουσα τήν δρόσον.

Καί νῦν. Θεοτοκίον.

Ὦ τῆς ψυχῆς μου* δεινῆς ἀορασίας·* φωταγώγησόν μεν Σύ,* φωτός ἀκτίστου Μῆτερ,* τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Νικήσασα τόν κόσμον,* ἐν πόλῳ ἐπιπολεύεις* καί ταῖς Ἁγίων χορείαις εὐφραίνει νῦν,* ἡμῖν ὀμβρίζουσα ἀφειδῶς,* τοῦ Παρακλήτου τήν δρόσον τοῦ Πνεύματος.

Ἴδε μου τήν πτωχείαν,* τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρ ός Κύριον πλούτισον* διψῶσαν τήν ἐμήν ψυχήν,* τῶν δωρεῶν καί χαρίτων τοῦ Πνεύματος.

Δόξα.

Ὄγκον ἀνομιῶν μου* καί τῶν πταισμάτων λῦσον,* τό δέ χειρό-γραφον, Μῆτερ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ τήν σήν* ἁγίαν μνήμην τοῖς πᾶσι κηρύττοντος.

Καί νῦν. Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* σύν τῇ Ὁσίᾳ Κυρίῳ πρεσβεύσατε,*

ἵνα δωρήσῃ πᾶσιν ὡς Θεός,*
ἁμαρτημάτων τήν λύσιν καί ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός τήν σήν ἐδέξατο* ἄσκησιν ὡς θυμίαμα,* Ἰουλιανή θεοφόρε* καί ἀντιδόξασεν· ὅθεν* θερμῶς καθικετεύομεν,*
μή παύῃς ταῖς πρεσβείαις σου,*
ἁμαρτημάτων τήν λῦσιν,* δοῦναι ἡμῖν τοῖς τιμῶσι* σήν ἀξιέπαινον μνήμην.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν* λαβοῦσα, ἔνδοξε,* δι' ἀρετῆς καθεῖλες* τόν ἀρχέκακον ὄφιν·* ἡμῶν δέ ἀνεδείχθης πρός οὐρανόν* ὁδοδείκτης σωτήριος·* διό τήν μνήμην σου ἄσμασιν καί ᾠδαῖς* ἀναμέλποντες τιμῶμεν σου.

Χαίρει ἐν σοί γῆ Ῥωσίας,* ἡ σέ βλαστήσασα·* Λαζάρεβο δέ εὐφρόνως* τήν σήν ἀγάπην κηρύττει·* σύμπασα δ' Ἐκκλησία ἡ τοῦ Χριστοῦ* σέ μακαρίζει γεραίρουσα,* ὡς ἐλεήμονα νέαν καί τῶν πτωχῶν* ἀντιλήπτορα καί πρόμαχον.

Μούρωμ ἡ πόλις χορεύει,* ἐπί τῇ δόξῃ σου,* ὡς μήτηρ καυχω-μένη,* σῷ τῷ ἀφθάρτῳ λειψάνῳ·* πᾶσα δέ Ῥωσία ἡ ἱερά,* τήν εὐποιΐαν κηρύττει σου·*

τούτων ὑπάρχεις γάρ δόξα καί ἡ τιμή,*
ἡμῶν δέ πρέσβυς πρός τόν Κύριον.

Ἡμῶν τήν χώραν, ὦ Μῆτερ,
τήν κινδυνεύουσαν,* μή ἐπιλάθου θρόνῳ* τοῦ Θεοῦ ἐνωπίῳ*
ἑστῶσα, Ἐλεῆμον θαυματουργέ,* καί σαῖς εὐχαῖς
περιφρούρησον·* ἵνα κηρύττῃ σήν δόξαν καί τήν
τιμήν,* ἥν Χριστός σοί ἐπιβράβευσεν.

Δόξα. Ἦχος πλ. α'.

Ἐκ τῆς Ῥωσίας ὡς ἄνθος εὐῶδες,*
τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Ἰουλιανή μακαρία·*
τῆς τε ἀλήκτου ζωῆς τόν στέφανον δεξαμένη,*
ὡς βραβεῖον τῶν ἀγώνων σου,*
νῦν ἐν οὐρανῷ* μετά τῶν ἐλεημόνων συναγάλλῃ
Ἁγίων,* ὡς ὄντως ἐλεήμων καί φιλάνθρωπος·*
διό χαριστήριον ᾠδήν σοί ᾄδοντες,*
ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ Ἁγία,*
καί τῆς ἡμῶν πατρίδος,* ἀλλ' ἀπαύστως πρέσβευε τῷ Κυρίῳ,*
ῥυσθῆναι αὐτήν τῆς παρούσης περιστάσεως.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε,*
διά γάρ τοῦ ἐκ Σοῦ σαρκωθέντος,*
ὁ Ἅδης ἠχμαλώτισται,* ὁ Ἀδάμ ἀνακέκληται,*
ἡ κατάρα νενέκρωται,* ἡ Εὔα ἠλευθέρωται,*
ὁ θάνατος τεθανάτωται* καί ἡμεῖς ἐζωοποιήθημεν.*
Διό ἀνυμνοῦντες βοῶμεν,*

εὐλογητός Χριστός ὁ Θεός ἡμῶν,*
ὁ οὕτως εὐδοκήσας, δόξα Σοι.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις εὐποιΐας ἡ καλλονή,* τῆς οἰκογενείας* ἡ προστάτης καί ἀρωγός·* τῶν τε πενομένων* τροφός καί παραστάτης,* πολύτεκνε μητέρα,* ἅμα καλλίτεκνε.